27 μάζουσί με Κακίαν. Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπεν· Καὶ ἐγὼ ἥκω πρὸς σε, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε, καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα· ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ᾽ ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ᾽ ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ᾽, ᾗπερ οἱ θεοὶ διέθεσαν τὰ ὄντα, διηγήσομαι μετ᾽ ἀλη-
28 θείας. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις· ἀλλ᾽ εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ᾽ ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν· εἴτε τὴν γῆν φέρειν σοι βούλει καρποὺς ἀφθόνους, τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημά-

per Ruhnken ad Timaeum. Minui ait Philosophus malum et bonum formis nominum diminutiuis. Ceterum με post μισοῦντες deleui auctore Cod. Flor. A et C.

§. 27. εἰδυῖα τοὺς] Iuntina, si recesseris a Castal., habet εἰ δυνατοὺς, vitiose.

ἐντιμοτέραν] Iunt. ἐντιμωτέραν, male.

τὰ ὄντα] In hoc loco τὰ ὄντα habent aliquid offensionis, quod sentiens noster Hindeburgius, ea retulit ad antec. διέθεσαν. Sed et sic frigent. Aut delendum videtur, aut scribendum τὰ πάντα. In versiculo sequente sunt τὰ ὄντα, vnde vitium nasci potuit. *Ern.* Equidem cum Hindeb. distinxi post ὄντα; quemadmodum interpretatus est Bessario: caetera salua puto. Nec magis necessariam, quamquam ingeniosam, arbitror coniecturam Valkenarii, qui pro μετ᾽ ἀληθείας Xenophontem scripsisse opinatur τὰ ὄντα διηγήσομαι· τῶν γὰρ ὄντως (pro ὄντων) ἀγαθῶν. Sic *veri nominis bona*, inquit, dicuntur Socraticis; quibus τῷ ὄντι significat *vere*. Illa τὰ ὄντα autem opponuntur τοῖς προοιμίοις ἡδονῆς, et μετ᾽ ἀληθείας illi ἐξαπατήσω.

§. 28. θεοὶ διδόασιν] Paris. 1 διδάσκουσιν ἀνθρώπους.

ἐθέλεις] Sic recte Iunt., Paris., Steph. sec. et Ern. habent. Vitiosum ἐθέλοις, quod caeteras obsedit edd., ortum est ex Aldina. Sic etiam omnes Florent. contra Vatic. 1. 2. 3. ἐθέλεις habent.

εἴτε τὴν γῆν] Iunt. εἴγε τ. γ., male. Ibidem mox excidit βούλει. Vat. 1 et Flor. E. εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν. qui numerus mihi magis placet. Sic paulo post δύνασθαι post ἐλευθεροῦν collocat Vatic. 1.